E τος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. πόστον γάρ
ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζῴων δυνάμεως; λέγω
δ' οἷον ἐλεφάντων καὶ ταύρων καὶ λεόντων. παιδεία δὲ τῶν
ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. καὶ δύο τὰ πάντων
ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. καὶ ὁ
μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου, ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ
νοῦ, τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δ' ἀναφαίρετος, νόσῳ
δ' ἀδιάφθορος, γήρᾳ δ' ἀλύμαντος. μόνος γὰρ ὁ νοῦς πα-
λαιούμενος ἀνηβᾷ, καὶ ὁ χρόνος τὰ ἄλλα πάντα ἀφαιρῶν τῷ
γήρᾳ προστίθησι τὴν ἐπιστήμην. ὅ γε μὴν πόλεμος χειμάρρου
F δίκην πάντα σύρων καὶ πάντα φέρων μόνην οὐ δύναται
παιδείαν παρελέσθαι. καί μοι δοκεῖ Στίλπων ὁ Μεγαρεὺς φι-
λόσοφος ἀξιομνημόνευτον ποιῆσαι ἀπόκρισιν, ὅτε Δημήτριος
ἐξανδραποδισάμενος τὴν πόλιν εἰς ἔδαφος κατέβαλεν, ὁ δὲ τὸν
Στίλπωνα ἤρετο μή τι ἀπολωλεκὼς εἴη. καὶ ὅς 'οὐ δῆτα' εἶπε,
6 'πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν'. | σύμφωνος δὲ καὶ
συνῳδὸς ἡ Σωκράτους ἀπόκρισις (Plat. Gorg. 470e) ταύτῃ
φαίνεται. καὶ γὰρ οὗτος ἐρωτήσαντος αὐτόν μοι δοκεῖ Γοργίου
ἣν ἔχοι περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν καὶ εἰ νομίζοι
τοῦτον εὐδαίμονα εἶναι, 'οὐκ οἶδα' ἔφησε 'πῶς ἀρετῆς καὶ
παιδείας ἔχει', ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς
τυχηροῖς ἀγαθοῖς κειμένης.

**9.** Ὥσπερ δὲ παραινῶ τῆς παιδείας τῶν τέκνων μηδὲν
ποιεῖσθαι προὐργιαίτερον, οὕτως αὖ πάλιν φημὶ δεῖν τῆς
ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι, τῶν δὲ πανηγυρικῶν
λήρων ὡς πορρωτάτω τοὺς υἱεῖς ἀπάγειν. τὸ γὰρ τοῖς πολλοῖς
B ἀρέσκειν τοῖς σοφοῖς ἐστιν ἀπαρέσκειν. μαρτυρεῖ δέ μου τῷ
λόγῳ καὶ Εὐριπίδης λέγων (Hipp. 986):